A φῶτος. ταύτην καὶ Δημητριάδας προσηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν, ἐκάλουν ἐννάτην φθίνοντος. τὴν εἰκοστὴν τρίτην, ὀγδόην. τὴν εἰκοστὴν τετάρτην, ζ. τὴν εἰκοστὴν πέμπτην ϛ. τὴν εἰκοστὴν ἕκτην ε. τὴν εἰκοστὴν ἑβδόμην δ. τὴν εἰκοστὴν ὀγδόην γ. τὴν εἰκοστὴν ἐνάτην β. εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν. ἐν ᾗ τόκοι ἀπῃτοῦντο. ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μὴν καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς καὶ σελήνης. ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη παρ' αὐτοῖς πέμπτη ἀκούει. ἡ δὲ εἰκοστὴ ἑβδόμη, τετρὰς λέγεται. Ενη καὶ νέα] ἡ νουμηνία. οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακάς. B ἐπεὶ συμβαίνει ἐν αὐτῇ καταλήγειν τὴν σελήνην καὶ γίνεσθαι. τότε δὲ τοὺς μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια, ἀπῄτουν ὡς ὑπερόρους. διὸ λυπεῖσθαί φησιν ὡς ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. ἢ δὲ ἐστὶν ἡ καλουμένη εἰκὰς φθίνοντος ἕνη καὶ νέα ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τὸν μῆνα ἕνη. διὰ δὲ τὴν ἀρχὴν, νέα. ἄλλως. ἡ καλουμένη νεμηνία διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος. ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης, εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι. καὶ τὴν μὲν πρώτην ὡς C

A ἡμεῖς ἀπαριθμοῦνται. τὴν δὲ δευτέραν οὕτως. πρώτη ἐπὶ δέκα. δευτέρα ἐπὶ δέκα. ἄχρι τῆς θ. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. τὴν δὲ εἰκάδα πρώτην, ὑστέραν δεκάδα καὶ τὴν μετὰ ταύτην θ φθίνοντος. ἕως β φθίνοντος, ἥτις ἐστὶν κθ. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί. Θεὶς μοι πρυτανεῖα] τὰς γὰρ δεκάδας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτανεύουσιν εἰσῆγον τοὺς χρεωστοῦντας. πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα. μέμνηται τῆς λέξεως καὶ Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ B ἀργύρειόν τι, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων. ἄλλως. δίκας. ἐκ ταγάς. αὗται γὰρ εἰς τὸ πρυτανεῖον συνήγοντο. τὸ δὲ ἦν δημόσιόν τι θησαυροφυλάκιον. Ολίγον γάρ μοι μέλει.] ἀντὶ τοῦ οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν, διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον, ᾧ περιεγίνετο τῶν δίκαια λεγόντων.

Bɪsᴇᴛ. Τὸ φροντιστήριον] τὴν τοῦ φροντιστηρίου θύραν. Ημί] φημί, λέγω. νῦν προσφωνητικόν ἐστι μόριον. ἀλλαχοῦ δὲ σαφηνείας ἕνεκα παραλαμβάνεται. C

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ δευτέρα.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

Σω. Στρεψιάδην ἀσπάζομαι.
Στρ. Κἄγωγέ σ', ἀλλὰ τουτονὶ πρῶτον λαβέ.
Χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
Καί μοι τὸν υἱὸν εἰ μεμάθηκε τὸν λόγον
Ἐκεῖνον, εἴφ', ὃν ἀρτίως εἰσήγαγες.
Σω. Μεμάθηκεν. Στρ. εὖ γ' ὦ παμβασίλει' Ἀπαιόλη.
Σω. Ὥς' ἀποφύγοις ἂν ἣν τιν' ἂν βούλῃ δίκην. E
Στρ. Κεἰ μάρτυρες παρῆσαν ὅτ' ἐδανειζόμην;
Σω. Πολλῷ γε μᾶλλον κἂν παρῶσι χίλιοι.
Στρ. Βοάσομ' ἄρα ταὐπέρτονον
Βοάν. ἰὼ κλάετ' ὦ 'βολοστάται,
Αὐτοί τε καὶ τἀρχαῖα, καὶ τόκοι τόκων,
Οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι F
Οἷος ἐμοὶ τρέφεται
Τοῖσδ' ἐνὶ δώμασι παῖς.

## ACTVS IV. SCENA II.

Socrates, Strepsiades.

D IVbeo Strepsiadem saluere. ST. & ego Socratem.
*Age, hunc tu primum cape farinæ culeum:*
*Nam venerari me sic magistrum condecet.*
*Sed, dic quæso iam mihi de filio meo,*
*An sermonem illum à te introductum didicerit.*
SO. *Didicit vtique.* ST. *Euge: ô fraudem, reginam omnium.*
SO. *Effugere nunc poteris, quamcunque dicam velis.* E
ST. *Etiam cùm testes affuerint mihi, fænori*
*Argentum accipienti?* SO. *imò si mille fuerint.*
ST. *Exclamabo ergo altissimè.*
*Iô, Iô, væ vobis nummulariis:*
*Pereatis & vos, & vestra tabularia,*
*Et vsuræ vsurarum. Nam nullo amplius*
*Me vos affeceritis malo.* F
*O mihi, quanta domo*
*Hac alitur soboles?*

Σχόλια. Πρῶτον λαβέ.] θύλακον ἀλφίτων δίδωσιν αὐτῷ. καὶ γὰρ ἄνω εἶπε διαλφιτώσω σου κύκλῳ τὴν καρδόπον. Ἐπιθαυμάζειν.] θαυμαστῇ τιμᾶν καὶ δεξιοῦσθαι.

Bɪsᴇᴛᴠs. Εἴφ' ὅν.] ἀντὶ τοῦ ἐκεῖνον εἰπὲ, εἰς ὃν ἀρτίως εἰσήγαγες τὸν υἱόν μου. ἢ, ὃν σὺ ἀρτίως εἰσήγαγες, καὶ ἐδίδαξας.

Σχόλια. Ἀρτίως.] διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ Ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν. ἀρτίως δὲ πρὸ ὀλίγου. Ἀπαιόλη.] πέπλακεν ὄνομα δαίμονος σωματοποιήσας αὐτὴν παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στερεῖν. ἢ τινὰ τοιαύτην ὡς ἂν εἴποι τις ὦ ἀδικία. Ἀριστοφάνης δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην ἀπαιολή. τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ παμβασίλεια, διὰ μέσου. Βοάσομ' ἄρα.] διπλῆ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον, τῶν ὑποκειμένων εἰκοσάκωλος. G τὸ μὲν πρῶτον, ἐξ ἰαμβικῆς βάσεως. τῶν ἄρα δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων. καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς, τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα, μεθ' ἃ δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον. τὸ ἔνατον ἐξ ἐπιτρίτων τρίτων δίμε-

τρον